οὕτως εἶπεν κύριος Ὅταν μέλλῃ πληροῦσθαι Βαβυλῶνι ἑβδομήκοντα
ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπιστήσω τοὺς λόγους μου ἐφ᾽ ὑμᾶς
11 τοῦ τὸν λαὸν ὑμῶν ἀποστρέψαι εἰς τὸν τόπον τοῦτον· [11]καὶ λο-
γιοῦμαι ἐφ᾽ ὑμᾶς λογισμὸν εἰρήνης καὶ οὐ κακὰ τοῦ δοῦναι ὑμῖν
12 13 ταῦτα. [12]καὶ προσεύξασθε πρός με, καὶ εἰσακούσομαι ὑμῶν· [13]καὶ
ἐκζητήσατέ με, καὶ εὑρήσετέ με, ὅτι ζητήσετέ με ἐν ὅλῃ καρδίᾳ
14 15 ὑμῶν, [14]καὶ ἐπιφανοῦμαι ὑμῖν. — [15]ὅτι εἴπατε Κατέστησεν ἡμῖν
21 κύριος προφήτας ἐν Βαβυλῶνι, [21]οὕτως εἶπεν κύριος ἐπὶ Αχιαβ καὶ
ἐπὶ Σεδεκιαν Ἰδοὺ ἐγὼ δίδωμι αὐτοὺς εἰς χεῖρας βασιλέως Βαβυ-
22 λῶνος, καὶ πατάξει αὐτοὺς κατ᾽ ὀφθαλμοὺς ὑμῶν. [22]καὶ λήμψονται
ἀπ᾽ αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ Ιουδα ἐν Βαβυλῶνι λέγον-
τες Ποιήσαι σε κύριος, ὡς Σεδεκιαν ἐποίησεν καὶ ὡς Αχιαβ, οὓς
23 ἀπετηγάνισεν βασιλεὺς Βαβυλῶνος ἐν πυρὶ [23]δι᾽ ἣν ἐποίησαν ἀνο-
μίαν ἐν Ισραηλ καὶ ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν
καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί μου, ὃν οὐ συνέταξα αὐτοῖς,
24 καὶ ἐγὼ μάρτυς, φησὶν κύριος. — [24]καὶ πρὸς Σαμαιαν τὸν Νελα-
25 μίτην ἐρεῖς [25]Οὐκ ἀπέστειλά σε τῷ ὀνόματί μου. καὶ πρὸς Σοφο-
26 νιαν υἱὸν Μαασαιου τὸν ἱερέα εἰπέ [26]Κύριος ἔδωκέν σε εἰς ἱερέα
ἀντὶ Ιωδαε τοῦ ἱερέως γενέσθαι ἐπιστάτην ἐν τῷ οἴκῳ κυρίου
παντὶ ἀνθρώπῳ προφητεύοντι καὶ παντὶ ἀνθρώπῳ μαινομένῳ, καὶ
27 δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν καταρράκτην. [27]καὶ
νῦν διὰ τί συνελοιδορήσατε Ιερεμιαν τὸν ἐξ Αναθωθ τὸν προφη-
28 τεύσαντα ὑμῖν; [28]οὐ διὰ τοῦτο ἀπέστειλεν πρὸς ὑμᾶς εἰς Βαβυ-
λῶνα λέγων Μακράν ἐστιν, οἰκοδομήσατε οἰκίας καὶ κατοικήσατε
29 καὶ φυτεύσατε κήπους καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν; — [29]καὶ
30 ἀνέγνω Σοφονιας τὸ βιβλίον εἰς τὰ ὦτα Ιερεμιου. [30]καὶ ἐγένετο
31 λόγος κυρίου πρὸς Ιερεμιαν λέγων [31]Ἀπόστειλον πρὸς τὴν ἀποι-
κίαν λέγων Οὕτως εἶπεν κύριος ἐπὶ Σαμαιαν τὸν Νελαμίτην Ἐπειδὴ
ἐπροφήτευσεν ὑμῖν Σαμαιας, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτόν, καὶ
32 πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ᾽ ἀδίκοις, [32]διὰ τοῦτο οὕτως εἶπεν
κύριος Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ Σαμαιαν καὶ ἐπὶ τὸ γένος αὐτοῦ,
καὶ οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν τοῦ ἰδεῖν τὰ ἀγα-
θά, ἃ ἐγὼ ποιήσω ὑμῖν· οὐκ ὄψονται.
37 [1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν παρὰ κυρίου εἰπεῖν [2]Οὕτως

10 οταν] pr. οτι S* || 13 εκζητησατε] -σετε A, ζητησετε S (ab hoc ζητησετε transilit S† in ζητησετε sequens) | οτι — fin.] οταν εν ολη καρδια A† (οταν pro aut ante οτι praebent multi) || 15 προφητην A† || 22 απ] επ A || 23 ισραηλ] ιερουσαλημ Sc || 24 νελαμιτην Ra.] ελαμ. SA, αιλαμ. B: item in 31 || 25 μασεου S†, μασσαιου A†: cf. 21 1 | ειπε pau.] ειπεν BS, ειπειν A || 26 εις 1⁰ > SA || 27 συνελοιδορ. BA†] συν > S, ουκ επετιμησατε Q (sequente datiuo) || 28 ου] > S*†, οτι A || 31 νελαμιτην: cf. 24 | αδικοις B†] -κω rel.

37 (𝔐 30) 1 γεναμενος A†